Ε′ 1 ὣς Τρῶες, ἐπ[εὶ] κλύον [αἰ-
χματὰν Ἀχιλλέα
3 μίμνο[ντ᾽] ἐν κλισίῃσιν
εἵνεκ[ε]ν ξανθᾶς γυναικός,
Β]ρ[ι]σηΐδος ἱμερογυίου,
6 θεοῖσιν ἄντειναν χέρας,
φοιβὰν ἐσιδόντες ὑπαὶ
χειμῶνος αἴγλαν·
9 πασσυδίᾱι δὲ λιπόντες
τείχεα Λαομέδοντος
11 ἐ]ς πεδίον κρατερὰν
ἄϊξαν ὑ[σ]μίναν φέροντες·
1 ὦρσάν τ[ε] φόβον Δαναοῖς·
ὤτρυνε δ᾽ Ἄρης
3 ε]ὐεγχής, Λυκίων τε
Λοξίας ἄναξ Ἀπόλλων·
ἶξόν τ᾽ ἐπὶ θῖνα θαλάσσας·
col 33 (27) 6 ν]αυσὶ δ᾽ εὐπρύμνοις παρα⟨ὶ⟩
μάρναντ᾽, ἐναριζ[ομέν]ων
δ᾽ ἔρ]ευθε φώτων
9 αἵμα]τι γαῖα μελα[-
Ἑκτορ]έας ὑπὸ χει[ρός,
11 . . . .]εγ᾽ ἡμιθέοις
. . . . .] ἰσοθέων δι᾽ ὁρμάν.
1 . . . . .]ρονες, ἦ μεγάλαισιν ἐλπίσιν